## 77. THE DEATH OF JOHN THE BAPTIST (Matt-Lk Identicals)

| Matt 14:1-12 | Luke 9:7-9 |
| --- | --- |
| Ἐν ἐκείνῳ τῷ καιρῷ | |
| ἤκουσεν | Ἤκουσεν δὲ |
| Ἡρῴδης ὁ τετραάρχης | Ἡρῴδης ὁ τετραάρχης |
| τὴν ἀκοὴν Ἰησοῦ, | τὰ γινόμενα πάντα, |
| | καὶ διηπόρει |
| 2 καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ, | διὰ τὸ λέγεσθαι ὑπό τινων ὅτι |
| Οὗτός ἐστιν | |
| Ἰωάννης ὁ βαπτιστής· | Ἰωάννης |
| αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, | ἠγέρθη ἐκ νεκρῶν, |
| καὶ διὰ τοῦτο | |
| αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. | |
| | 8 ὑπό τινων δὲ ὅτι |
| | Ἠλίας ἐφάνη, |
| | ἄλλων δὲ ὅτι προφήτης τις |
| | τῶν ἀρχαίων ἀνέστη. |
| | 9 εἶπεν δὲ Ἡρῴδης, |
| | Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· |
| | τίς δέ ἐστιν οὗτος |
| | περὶ οὗ ἀκούω τοιαῦτα |
| | καὶ ἐζήτει ἰδεῖν αὐτόν. |
| 3 Ὁ γὰρ Ἡρῴδης | |
| κρατήσας τὸν Ἰωάννην | |
| ἔδησεν αὐτὸν καὶ ἐν φυλακῇ ἀπέθετο | |
| διὰ Ἡρῳδιάδα τὴν γυναῖκα | |
| Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ· | |
| 4 ἔλεγεν γὰρ ὁ Ἰωάννης αὐτῷ, | |
| Οὐκ ἔξεστίν σοι ἔχειν | |
| αὐτήν. | |
| 5 καὶ θέλων αὐτὸν ἀποκτεῖναι | |
| ἐφοβήθη τὸν ὄχλον, | |
| ὅτι ὡς προφήτην αὐτὸν εἶχον. | |

| Matt 14:1-12 | Luke 9:7-9 |
|---|---|

*6 γενεσίοις δὲ γενομένοις τοῦ Ἡρῴδου*

*ὠρχήσατο*

*ἡ θυγάτηρ τῆς Ἡρῳδιάδος*

*ἐν τῷ μέσῳ*

*καὶ ἤρεσεν τῷ Ἡρῴδῃ,*

*7 ὅθεν μεθ ὅρκου ὡμολόγησεν*

*αὐτῇ*

*δοῦναι ὃ ἐὰν αἰτήσηται.*

*8 ἡ δὲ προβιβασθεῖσα*

*ὑπὸ τῆς μητρὸς αὐτῆς,*

*Δός μοι, φησίν, ὧδε*

*ἐπὶ πίνακι τὴν κεφαλὴν*

*Ἰωάννου τοῦ βαπτιστοῦ.*

*9 καὶ λυπηθεὶς*

*ὁ βασιλεὺς*

*διὰ τοὺς ὅρκους*

*καὶ τοὺς συνανακειμένους*

*ἐκέλευσεν δοθῆναι,*

*10 καὶ πέμψας*

*ἀπεκεφάλισεν*

*τὸν Ἰωάννην ἐν τῇ φυλακῇ·*

*11 καὶ ἠνέχθη ἡ κεφαλὴ*

*αὐτοῦ*

*ἐπὶ πίνακι*

*καὶ ἐδόθη τῷ κορασίῳ,*

*καὶ ἤνεγκεν*

*τῇ μητρὶ αὐτῆς.*

| Matt 14:1-12 | Luke 9:7-9 |
|---|---|
| *12 καὶ προσελθόντες* | |
| *οἱ μαθηταὶ αὐτοῦ* | |
| *ἦραν τὸ πτῶμα* | |
| *καὶ ἔθαψαν αὐτὸν* | |
| *καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ.* | |

222 total words with 7 identicals = 3%